μενος τῷ φίλῳ τὰ βελτίω τε καὶ εἰκότα. ἀλλὰ τούτων μὲν ἴσως οὔπω καιρὸς οὐδετέρου.

M 53 Σὺ δὲ τό γε νῦν εἶναι γράμμασιν εὔφραινε τοὺς φιλοῦντας καὶ τὴν ἐκ τῆς σῆς ἀπουσίας ἀθυμίαν ἐπιστέλλων ἀνάψυχε, τοῦτο μὲν κάλλει καὶ χάριτι τῇ τῶν λόγων παραμυθούμενος, τοῦτο δὲ καὶ διδάσκων, ἐν οἵοις ἐστέ, τίνος οὐ βέλτιον ὑμᾶς πράττειν συνευχομένους τε τοῖς φιλτάτοις καὶ βουλομένους μανθάνειν.

M 53

## 8. ⟨Βησσαρίων⟩ Νικηφόρῳ τῷ Χειλᾷ.

Σὺ δ' ἐξαπατῶν ἡμᾶς, φρονῶν μὲν ἕτερα, λέγων δὲ τὰ μὴ ὄντα ᾤου τι προὔργου ποιεῖν. ἀλλ' ἡμᾶς οὐκ ἐλάνθανες ἀποκρυπτόμενος μὲν τὴν ἀλήθειαν, τηρῶν δὲ τῷ θειοτάτῳ ἡμῶν ἡγεμόνι τε καὶ δεσπότῃ τὴν πίστιν τε καὶ τὴν εὔνοιαν, φυλάττων δ' αὐτῷ τὰ ἀπόρρητα ὄντως ἀπόρρητα. καίτοι τοῦτό γε κἂν αὐτὸς φαίης, ἡμῖν γοῦν, εἰ μή γε τοῖς ἄλλοις, ὡς ἔδει γε τῶν σῶν μεταδοῦναι καὶ τῶν ἐγνωσμένων κοινώσασθαι. φιλοῦντί τε γὰρ ἂν ἐκοινώνησας τῆς βουλῆς καὶ ἄλλῳ σαυτῷ. ἀλλ' ἴσως χαλεπόν γε τὸ ἔθος, οἷς ἂν ἐγγένηται, καὶ κρατῆσαν ψυχῆς δυσαπόνιπτον, καὶ ῥᾳδίως περιπεσεῖται τοῖς μείζοσιν ὁ τῶν ἐλαχίστων ὑπερορῶν. δεῖν δ' ἕκαστον ἑαυτὸν ἐπὶ θάτερον μεταβιβάζειν τὸ ἄκρον καὶ τὴν ὑπεροχὴν διώκειν, εἰ μέλλοι τοῦ μέσου τε καὶ μετρίου τυχεῖν. τοῦτο δὴ καὶ αὐτὸς φυλαττόμενος δικαίως γυμνάζεις σαυτὸν ἐπὶ μειόνων τε καὶ μειζόνων, τὴν πίστιν ἀσκῶν καὶ τὸ τἀπόρρητα φυλάττειν ἀνέκφορα σωφρόνως ἐπιτηδεύων. οὐχ ἡ τυχοῦσα γὰρ ἀρετὴ τοῖς δυνάσταις συνοῦσι κρύπτειν ἐπίστασθαι τὰ τῶν ἀρχόντων μυστήρια. καὶ καλῶς τοῦτό γε καὶ ἀξίως σαυτοῦ ποιεῖς τε καὶ δέδρακας. τί γὰρ ἄν τις μὴ τἀληθῆ πρὸς σὲ λέγοι μηδ' ἐπαινοίη τὰ θαύματος ἄξια, μηδὲ λύσειε τῶν ἐγκλημάτων τὸν φίλον καὶ ὑπεραπολογήσαιτο τοῦ φιλτάτου;

Ὁρᾷς, ὅσον ἡμεῖς τῷ φιλικῷ καθήκοντι χαριζόμεθα. οὔπω καθαρῶς ἐμεμψάμεθα καὶ φθάσαντές σε τῶν ἐγκλημάτων ἐλύσαμεν. μὴ δὴ πρὸς ἡμᾶς γε συγγράψῃς ἀπολογίαν, μηδὲ μελέτω σοι παραιτήσεως, μηδ' ἀνάγκην προβάλλῃ καὶ βίαν, καὶ ὡς ἄκων ὑπήχθης τὸ βέλτιον ἅπαξ ἑλόμενος καὶ μετὰ τῆς κρείττονος γνώμης γενόμενος. εἴτε γὰρ ἄκων ἠκολούθησας τῷ θειοτάτῳ δεσπότῃ, ὅπως οὐκ ἂν ἔγωγε πεισθείην ποτέ, χάρις τῷ βιασαμένῳ σε καὶ μὴ θέλοντα. καὶ γὰρ οὐδὲν βλάβος, ὅτι μὴ καὶ πᾶν τοὐναντίον θαῦμα
M 53v καὶ ἔπαινος ἀπαντήσει σοι παρ' αὐτοῦ μετὰ λαμπρῶν τῶν ἀμοιβῶν καὶ πλου-

25 μηδ' ἐπαινοίη . . . ἄξια M *in marg.* | 34 ἀπαντήσει] ἀπαντῇ ἀπαντήσει M

Ep. 8. Bessarion beklagt sich, daß ihm Nikephoros etwas verheimlicht habe, wovon der θειότατος ἡγεμών und δεσπότης (sicher Gemistos) wußte. Doch wolle er ihm sein Vertrauen bewahren. — Nikephoros Cheilas war fürstlicher Abkunft. Bessarion, der ihn dauernd schätzte, nennt ihn nochmals in Ep. 22 (unten S. 469).

Der bisher noch ungedruckte Brief ist überliefert: Venedig, Cod. Marc. gr. 533, fol. 53—53 v.

Ε.Υ.Α. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σίων. τὸ γὰρ ἐμὸν πῶς ὑπολογίζεσθαι δεῖ, καὶ ὅσον ἐζημιώθημεν ἀδελφοῦ τε καὶ φίλου σαφοῦς στερηθέντες, σοῦ γε εὖ πράξειν ἐλπιζομένου; ταύτῃ γὰρ δὴ τὴν ἐντεῦθεν ἀθυμίαν σκεδάσεις καὶ παραμυθήσῃ τῷ συνεῖναι τοῖς χρηστοτέροις. εἶθ' ἑκὼν ὢν ἀντέσχου τοῦ εὐεργέτου μὴ ὑποστὰς τὴν διάζευξιν καὶ τὴν ἀποδημίαν ἐτυραννήθης φιλίᾳ, τοῦτ' αὐτὸ πέπονθας, ὅπερ ἄμεινον. καὶ ὃ μὴ παθὼν ἔχρῃζες μᾶλλον ἀπολογίας ἢ πεπονθώς. ἀλλά μοι πᾶσι μὲν ἐνείης καλοῖς, ἀνδρῶν τε καὶ φίλων ἄριστε καὶ σαφέστατε. παντὸς δὲ περιγένοιο τοῦ λυποῦντος συλλαμβανομένου Θεοῦ καὶ τῶν τῆς μεγάλης πόλεως ἐμφορηθεὶς ἀγαθῶν.

Νῦν μὲν ἡμᾶς εὐφραίνοις ὥρᾳ καὶ κάλλει γραμμάτων καὶ χρηστοτέροις τοῖς περὶ σαυτοῦ λόγοις. εἰς ἔπειτα δὲ καὶ λαμπρὸς λαμπρῶς αὖθις τοῖς φιλοῦσιν ὀφθείης ἡμῖν, εὖ καὶ αὐτοῖς ἔχουσιν, ὅπου καὶ ὅτε βέλτιόν τε καὶ ἄμεινον.

## 9. ⟨Βησσαρίων⟩
## Διονυσίῳ ἱερομονάχῳ. M 53v

Καὶ μήπω τοῦ τῷ μακαρίτῃ πατρὶ δεινὸν ἐπιρρεύσαντος πάθους πᾶν, ὅσον ἠπείλει, τελέσαντος ἐκαθήμην ἐν πένθει, τὴν ὅσον οὐκ ἤδη καταληψομένην ἡμᾶς συμφορὰν τεκμαιρόμενος. οὐ γὰρ μάντεως ἔδει γε τοῖς παροῦσιν, οὕτω μὲν χαλεπῆς ἠγγελμένης τῆς νόσου, οὕτω δὲ γήρᾳ καὶ πόνοις ἀσκητικοῖς αὐτῷ προκατειργασμένου τοῦ σώματος. καὶ τὴν πικρὰν ἐκείνην πυθόμενος τελευτὴν μέγα τε ἀνῴμωξα τότε καὶ νῦν μεμνημένος δακρύω. οὕτω μου τὴν ψυχὴν ἡ λύπη συνέχεε καὶ τοσαύτην ἀθυμίαν ἐνῆκεν. ἥ τε γὰρ σοῦ κατασκεδασθεῖσα τῆς λύπης ἀχλύς — οὕτω μὲν φιλίᾳ καὶ νόμοις ἀγάπης, οὕτω δ' ὁμοφροσύνῃ τε καὶ τῷ κατ' ἴχνος αὐτοῦ βαίνειν, τῆς μακαρίας ἐκείνης ψυχῆς ἐξημμένου, προσήκει τι καὶ ἡμῖν. — ἥ τ' ἐμαυτοῦ συμφορὰ πῶς οὐ δικαία πενθεῖσθαι, κἂν τὸ κοινόν τις λογίσηται, κἂν τὸ ἴδιον;

'Ανὴρ γὰρ ἐκεῖνος τί μὲν οὐ τεθησαύρικε τῇ ψυχῇ τῶν καλῶν; τί δ' οὐ μεθ' ὑπερβολῆς ὡς οὐδεὶς ἄλλος κατώρθωκε; τῷ κύκλῳ μὲν τῶν ἀρετῶν M 54
ἀναδούμενος, ἀστράπτων δὲ τῇ διὰ πασῶν ἀγλασίᾳ καὶ λάμπων ἐπιεικείᾳ καὶ ταπεινώσει διαπρέπων τῇ μακαρίᾳ. οἷς καὶ τοὺς μηδ' ἐς ὄψιν ἐλθόντας αὐτῷ μόνῃ τῇ φήμῃ συνειλημμένους εἶχεν ὥσπερ τισὶ πέδαις ἀδαμαντίνοις καὶ δεσμοῖς εὐνοίας κατειλημμένους. τὸν γὰρ δὴ τῆς θαυμαστῆς γλώττης ἐκείνης τόνον καὶ δρόμον καὶ τὴν δεινότητα καὶ σεμνότητα τί τίς ἂν λέγοι

---

Ep. 9. Bessarion beklagt den schon lange vorauszusehenden Tod seines ehemaligen Lehrers, dessen Namen er nicht nennt; aber es wird sich kaum um einen anderen handeln als um den Erzbischof von Selymbria, dem er zeitlebens ein hohes Andenken bewahrt hat. Vgl. Nicolai ep. Firmani Acta in funere Bessarionis c. 2. Hier weiß er seine Persönlichkeit, seine Gelehrsamkeit und seine Meisterschaft in der Rede zu rühmen. Wenn neben anderen Trostgründen auch Platon hier zur Sprache kommt, so zeigt das den Einfluß der Schule Plethons. Im gleichen Sinn schrieb Bessarion an die Hieromonachoi Matthaios und Isidoros (Ep. 11).

Überliefert ist der bis jetzt noch ungedruckte Brief: Venedig, Cod. Marc. gr. 533, fol. 53v—55 (= M).

Ε.Υ. Λ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ τὴν διὰ πάντων ἄρρητον ὥραν ἐκείνην, οἷς ἀνεῖχε μὲν τοὺς τοῖς ὑπὲρ τοῦ καλοῦ πόνοις ἐνδόντας καὶ πτῶμα πεσεῖν κινδυνεύοντας; ηὖξε δὲ τοῖς ἀγωνιζομένοις τὸν δρόμον, τὴν σπουδὴν αὐτοῖς ἐπιτείνων πειθοῖ τε καὶ χάριτι καὶ οὐχ ἥκιστα τῷ καθ' αὑτὸν ὑποδείγματι, πλείω μὲν δρῶν ἢ λέγων, τοσαῦτα δὲ λέγων, ὅσαπερ ἔδει τὸν ἐς τοσοῦτο λόγων ἀφιγμένον δυνάμεως, οὐχ ἥκιστα δ' οἷς ὑπετίθετο πείθων, ἢ οἷς αὐτὸς ἔδρα, ἐγγύθεν γε τὴν ἀπόδειξιν καὶ τὸν μάρτυρα προβαλλόμενος οἴκοθεν. ὧν εἴ τις μὴ μεμνημένος δακρύει, τὸ μὲν αὐτὸς αὑτόν τις ἕκαστος, τὸ δὲ καὶ τὴν κοινὴν ζημίαν ὀλοφυρόμενος, ἀναισθησίας ἂν φύγοι λίθου τινὸς ἢ σιδήρου πεποιημένος. ὃν γὰρ εἰ καὶ βάρβαροι εἶδον, ἠδέσθησαν ἄν, ὃς κἂν Σκύθας ἡμέρωσε τῆς αὑτῶν περιγενόμενος φύσεως, τούτου τις ἐπιλήσεται ῥᾳδίως, μὴ καὶ ἀδάμαντος σκληρότερος ὢν καὶ αὐτῶν τῶν ἀψύχων ἀναισθότερος;

Ἐγὼ μὲν οὖν καὶ ἤθους ἐκείνου καὶ τοῦ σεμνοῦ καταστήματος μόνου τοὺς τύπους ἐν τῇ ψυχῇ περιφέρων, οἷς καὶ μόνον ὁρώμενος ἐθαυμάζετο τῶν ὑμνουμένων οὐκ ἔλαττον θεαμάτων, ἄγαμαί τε τὸν ἄνδρα. καὶ μέ τις ἄρρητος κρᾶσις ἡδονῆς τε καὶ λύπης κατέχει, τὸ μὲν ἐφ' οἷς ἐπλουτοῦμεν καλοῖς, τὸ δ' ἐφ' οἷς δυστυχῶς ἐστηρήθημεν. ὅταν δ' ἀναμνησθῶ καὶ λόγων ἐκείνου τῶν ἱερῶν καὶ τῆς πνευματικῆς ἐπιστήμης, οἷς ἀνηρεύναμεν τοὺς ἐν μυχοῖς καρδίας ἐμφωλεύοντας λογισμούς,—ἀπεγύμνου δὲ τὰ πάθη μὴ συγχωρῶν μηδενὶ διαδράναι καὶ φωρῶν ἐπήντλει τε καὶ κατεπαιώνιζε πᾶσαν εἰσφέρων σπουδὴν καὶ οὐκ ἀνίει παιδαγωγῶν καὶ ῥυθμίζων, τήν τ' ἐπῳδὴν ἐπᾴδων,
M 54ᵛ ὅ φησι Πλάτων, ἕως ἂν ἐξιάσεται — ἀρετῆς τινα γενικὸν τύπον αὐτὸν οὐρανόθεν ὁρᾶν μοι δοκῶ κατιόντα ἐς τοὺς ἀνθρώπους, ἀπελάσοντα μὲν κακίαν τε καὶ τὸ ψεῦδος, ἀλήθειαν δὲ ταῖς ψυχαῖς ἀντεισάξοντα καὶ πάντα πείσοντα τὰ βελτίω.

Ἐπῄει δέ μοι καὶ πολλάκις λογίζεσθαι, μή που καὶ τῆς ἀνθρωπίνης εἴη κρείττων ὁ ἀνὴρ φύσεως, οὕτω καθάπαξ πάντων περιγενόμενος τῶν παθῶν καὶ μόνος ἐλεύθερος ὢν ἐν πολλοῖς δουλεύουσι τῇ κακίᾳ. ὅδ', ὡς ἔοικε, σώματι μὲν καὶ τοῖς δεσμοῖς συνείχετο τοῖς τῆς φύσεως, τοῦτον δὲ τὸν νῦν ἐπιόντα φιλοσοφῶν ἀεὶ θάνατον ἐλέλυτο πρὸ τῆς λύσεως καὶ ἀϋλίαν μετῄει μετὰ τῆς ὕλης καὶ τοῦ κατακλύζοντος ῥεύματος οὐχ ἡττήθη, τῆς τῆς φλυαρίας μὲν ἀβύσσου περιγενόμενος, κατὰ δὲ τῶν κυμάτων αὐτῆς κούφως ἐπινηχόμενος καὶ μετεώρῳ βαίνων ποδὶ καὶ τὴν ἐς οὐρανὸν ἐκεῖθεν μάλ' εὐπετῶς ἀνιών. ὅπου καὶ νῦν παρ' αὐτὸν τῆς ἀρετῆς τὸν ἀγωνοθέτην γενόμενος ἐμφορηθήσεται μὲν ἧς ἐφίετο δόξης, ἀπολήψεται δὲ τῶν πεπολιτευμένων τὰ ἆθλα, καὶ ὅσα τοῖς κατ' αὐτὸν ἀποκεῖσθαι ἐκεῖ καὶ λόγον καὶ ἔννοιαν ὑπερβαίνοντα ὁ θεῖος ἔπεισε λόγος. λυπήσας μὲν τοὺς ὑπολελειμμένους ἡμᾶς οὐ μετρίως, εὐφράνας δ' ὅμως οὐχ ἧττον, οἷς αὐτὸς ἀπέλαυσεν ἀγαθοῖς. αὐτός τε γὰρ δήπουθεν ἀξιώσει. καὶ ἡμεῖς δοκιμάσομεν λογισμῷ δόντες αὐτοὺς μὴ τὸ ἡμῶν αὐτῶν μόνον, ἀλλὰ καὶ τὸ κείνου προσλογίζεσθαι πάντως. ἐῶ γὰρ εἰπεῖν ὡς τούς γε φιλεῖν ἐγνωκότας, τοῦ τοῖς φίλοις συνοίσοντος μόνου φροντίζοντας μάλιστα, εἰ μὲν καὶ τὰ καθ' αὑτοὺς εὖ ἀπαντήσειε, δεῖν ἀγαπᾶν· εἰ δ' οὖν, αὐτοὺς ἐᾶν χαίρειν, ὅπως ἄρ' ἕξει, καὶ μὴ περιεργάζεσθαι.

ΙΩΑΝΝΙΝΑ 2006

Καίτοι γ' ἡμῖν οὐ τοῦτο πρόσεστι τἀγαθὸν μόνον, ὅτι πολλαπλασίονα τὴν ἐκείνου ῥοπήν τε καὶ συμμαχίαν τὸ ἀπὸ τοῦδ' ἕξομεν τοῦ Θεοῦ παραστάντος καὶ μετὰ πολλῆς ἅπανθ' ἡμῖν ἐσομένου τῆς περιουσίας, ἃ καὶ παρών, ἀλλὰ καὶ σκοποῦσιν οὐδέν, ὅτι καὶ ἄξιον θρήνου φανήσεται τῶν ἐκείνου. οὔτε γὰρ ἴσα ἀντ' ἴσων, οὐδ' ὀλίγῳ τινὶ κρείττω χειρόνων ἠλλάξατο, εἴπερ τὰ μὲν ἀγαθὰ μόνως καὶ παντὸς ἀμιγῆ τοῦ λυποῦντος, τὰ δὲ σχεδὸν ἄκρατα καὶ μόνως ἅπαντα τἀναντία· οὔθ' ὧν ἠλπίζομέν τε καὶ ἐδεδίαμεν, οὐδὲν ἀπέβη καινότερον. σύνισμεν γὰρ ἑαυτοῖς οὔθ' ἓν οὖσιν οὔτ' ἐς ἀεὶ ἐσομένοις, μᾶλλον M 55 δ' οὐδὲ καθαροῖς οὖσιν, ἀλλὰ τοσοῦτον λειπομένοις τοῦ εἶναι, ὅσον καὶ τοῦ ἓν εἶναι διέσταμεν, ταύτῃ τοι μηδὲ μένειν ἡμῖν ἐπὶ ταὐτοῦ μηδ' ἐν ἀκαρεῖ τὰ παρόντα, ἀλλ' ἐπιρρεῖν τε καὶ ἀπορρεῖν ὁσημέραι, γενέσεών τέ τινων καὶ φθορῶν ἐπαλλήλων ἡμῖν ἰουσῶν, καὶ οὐδέποτε τὸν αὐτόν, ἀλλ' ἄλλοτε ἀλλοῖον τὸν ἄνθρωπον ποιουσῶν, ὡς τὸν αὐτὸν θνήσκειν ἑκάστης ἡμέρας τὸν τελευταῖον ὑπομιμνησκόμενον θάνατον. ὧν τί τίς ἐν δεινῷ θέμενος οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος τὰ καθ' ἡμέραν γινόμενα δυσχεραίνων, καὶ ἃ οὐκ ἔνεστιν ἄλλως γενέσθαι;

Τούτοις γοῦν καὶ αὐτὸς τὸν ἐμαυτοῦ λογισμὸν κατεπᾴδων, κουφίζων τὸ πάθος καὶ μετριωτέραν τὴν ἀλγηδόνα καθίστημι· καὶ τὴν ὑπερβολὴν κολάζω τῆς ἀθυμίας ἐπιτιμῶν τῷ παθητικῷ τῆς ψυχῆς. σὺ δ', ἄνθρωπε τοῦ Θεοῦ, τῆς ἐκείνου πολιτείας εἰκὼν ἀκριβής, ἄγαλμα συγκροτημένον πᾶσι καλοῖς ὢν καὶ φρονήσεως ὅρος, μέτρα τε καὶ καιροὺς πένθους εἰδώς, εἴσῃ μέν, τίνων ὑπεροπτέον καὶ ὧν ὀλίγον ποιεῖσθαι δεῖ λόγους ἀπολομένων, τίνων δὲ ἀνθεκτέον. πιθανωτέροις τε τούτων καὶ πλείοσι χρήσῃ κατὰ τοῦ πάθους ἡμᾶς τε παραμυθούμενος καὶ σαυτόν, ὁ καὶ πολλοῖς ἄλλοις γενόμενος τούτων ὑφηγητής, πολλὰ μὲν ἐκ τῶν γραφῶν, πολλὰ δ' ἐκ τῶν ἑκάστοτε γινομένων, πλείω δ' ἀπὸ σαυτοῦ φάρμακα τοῖς πάσχουσιν ἐπιπλάττων καὶ καταστέλλων οἰδαίνουσαν αὐτοῖς τὴν ψυχὴν καὶ τῷ ταύτης λογιζομένῳ συλλαμβανόμενος· οὐ μόνον δέ· ἀλλὰ καὶ τὰ πάντα γινόμενος ἡμῖν ἀντ' ἐκείνου, καὶ ταῖς εἰς τὸ θεῖον λιταῖς βελτιῶν καὶ γράμμασιν εὐφραίνων ἀπόντας, τίνος οὐ μᾶλλον τοῦτο δυνάμενος.

## 10. <Βησσαρίων>
## Νομοφύλακι τῷ Εὐγενικῷ. M 55

Ἡμεῖς μὲν ᾠόμεθα σῶν μέν σοι τὸν οἶκον εἶναι καὶ κακῶν ἀπαθῆ, εὐθυμίᾳ M 55v δέ σε συνεῖναι τοῖς τοῦ βίου τερπνοῖς ἐφηδόμενον καὶ ὡς οὐκ ἂν παροψόμενον

2 τοῦ Θεοῦ *scripsi* τῷ Θεῷ M | 22 ἀπολομένων *scripsi* ἀπολλομένων M | 33 παροψόμενον *scripsi* παροψομένου M

Ep. 10. Adressat ist der bekannte Johannes Eugenikos, der Bruder des Markos Eugenikos. Bessarion hatte aus Konstantinopel erfahren, daß seine Kinder gestorben seien. Mit diesem Brief spricht er ihm deswegen Trost zu.

Die Antwort des Johannes Eugenikos findet sich unter dessen Briefen bei E. Legrand, Cent-dix lettres grecques de F. Filelfe. Paris 1892, p. 293 nach dem Cod. Paris.



Ε.Δ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

τά γ' ἐς τοὺς ἐπιτηδείους καὶ φίλους εἰκότα. ἅμα τε προσειρήκαμεν τοὺς ἐκ τῆς μεγάλης πόλεως ἥκοντας ὡς ἡμᾶς καὶ τὰς σὰς ἀπῃτοῦμεν ἐπιστολὰς ὥσπερ ἄλλο τι τῶν ἐκεῖθεν τοῦ παντὸς ἄξιον δῶρον. ἐπεὶ δ' οὐχ οἷοί τε ἦμεν εὑρεῖν, — πῶς γὰρ τά γε οὐκ ὄντα; — δέδηγμαι μὲν τὴν καρδίαν ὑποπτεύων σου τὴν σιγήν. ἐρευνῶντι δὲ τὴν αἰτίαν οὐδεὶς εἶχεν, ὅτι καὶ φράσας ἀπαλλάξει τῆς ἀπορίας, ἕως ὑπ' αὐτῶν σοι τῶν πολιτῶν καὶ μάλιστά σε εἰδότων τήν τε αἰτίαν δεδίδαγμαι πολλῷ πικροτέραν τῆς ὑποπτευομένης. καὶ τὰς δεινὰς ἐπυθόμην ἀγγελίας ἐκείνας, ὡς τεθναίη μέν σοι τὰ φίλτατα, ἀποβάλλοις δὲ τὴν συναυλίαν τῶν τέκνων, τέκνων ἐκείνων, ἃ κἂν πολέμιος μὴ θρηνήσας ᾐδέσθη, κἂν ἐχθρός τις ἠλέησεν ἀσπόνδως, κἂν ἅπαξ ἰδών τις τοῦ τεκόντος ἐμιμήσατο τὴν στοργήν. ἐγὼ μὲν οὖν καὶ τότ' εὐθὺς πικρὸν ἀφῆκα τῶν ὀφθαλμῶν δάκρυον. ἦσαν γὰρ οἳ καὶ ἡμῖν ἡλικίαν τε τῶν παίδων ἐκείνην ἀπήγγειλαν καὶ μελῶν συμμετρίαν καὶ κάλλος, καὶ ὡς ἀπὸ τῆς τοῦ βίου πρώτης εὐθὺς ἄνθης ἐδίδου τεκμαίρεσθαι τὴν ἐσομένην κατάστασιν. καὶ νῦν μετὰ τῶν ἴσων ταῦτά σοι γράφω δακρύων, τὴν τῆς σῆς ψυχῆς λογιζόμενος ἀθυμίαν, καὶ ὅσαπερ εἰκός σε δειχθῆναι προπέμψαντα τῷ τάφῳ τὰ φίλτατα, πρὶν ἢ καθαρῶς ἐπὶ ταῖς πρώταις τῆς φύσεως ἡσθῆναι γοναῖς. καίτοι σύ γε καὶ πενθεῖν οἶδας τῇ φύσει δήπουθεν χαριζόμενος καὶ φιλοσοφεῖν ἐπίστασαι· τό τε μέτρον ἄριστον ἐπαινεῖς πανταχοῦ· καὶ τὰς ἀρετὰς ἡδρασμένας ἐπὶ τοῦ μέσου δεδιδαγμένος, τῶν παρ' ἑκάτερα κακιῶν ἴσον ἀπέχεις τὴν βασιλικὴν βαδίζων, ὃ λέγεται.

Τόν τε θάνατον τοῖς μὲν μοχθηροῖς λύσιν κακίας, τοῖς δ' ἐναρέτως βιοῦσι καὶ παίδων, οἷς οὐ λογίζεται πονηρία, ζωῆς ἀρραβῶνα μηδέποτ' ἐπιλειπούσης εἰδώς, θρηνήσεις μὲν ἐπὶ τοῖς ἀπελθοῦσιν, ὅσον εἰκός, τὴν διάζευξιν δυσχεραίνων. αὐτὸς δὲ παραμυθήσῃ σαυτόν, ὁ καὶ πολλοῖς ἄλλοις πολλὰ πολλάκις συνεισενεγκὼν παραμυθίας τὰ φάρμακα. τῇ μὲν γὰρ ἐνταῦθα ζωῇ τὸν βίον
M 56 ἀντιθήσεις ἐκεῖνον, πόσῳ τούτου μακαριώτερον ὄντα· τῷ δ' ἁρπασθῆναι πρὸ ὥρας τὸ τὰ λυποῦντα τοῦ βίου διαφυγεῖν· τοιαῦτα δὲ τούτου τὰ πλείω, ἵνα μὴ λέγω τὰ πάντα· τῷ δὲ μὴ τοὺς πατέρας αὐτοῖς ἐφησθῆναι κατ' εὐχὰς ἀποβεβηκόσι τε καὶ ἐλπίδας καὶ παίδων γενομένοις πατράσι τὸ μηδὲ λύπης τε καὶ πικρίας ἐμφορηθῆναι, ἀναξίοις τῶν γεννησαμένων ὑπάρξασιν· οὐδὲν γὰρ οὐδὲ τοῦτο ἀδύνατον. εἰ δ' ὁ χωρισμός σε λυπεῖ καὶ τὸ μηκέτι πατέρα τούτων

---

gr. 2075, und nochmals bei Sp. Lampros, Πελοποννησιακὰ καὶ Παλαιολογικά. Ἐν Ἀθήναις. I (1923) p. 164. Eugeniko schrieb: »Mit wel hem Trost Du, teures Haupt, mich nach soviel Kümmernis erquicktest, äßt sich nicht schildern. Wie süßen Tau hast Du es auf meine trostlose Seele ausgegossen. Es war Deine aufrichtige Liebe, aber auch Dein wohlmeinender Rat und nicht zuletzt die Anmut und Kunst Deines Schreibens.« — Daß Eugenikos auf den vor iegenden Brief Bessarions Bezug nimmt, besagt der Satz: . . . μᾶλλον δὲ πρὸ ἡμῶν φίλων Θεοῦ φυλαχθῆναι καὶ ἔτι περιλειπόμενα τῶν παίδων καὶ αὐξηθῆναι κατὰ τὴν ἀποδοχὴν αὐτοῦ. Außer dem offensichtlich sp ter gemachten Zusatz πρὸ τοῦ λατινισμοῦ in der Überschrift bietet auch Eugenikos' Brief keine nähere Datierung.

Überliefert ist der bisher noch ungedruckte Brief Bessarions: Venedig, Cod. Marc. gr. 533, fol. 55—56 (= M).

κληθήσεσθαι, μνησθῆναί σε δεῖ, ὡς οὐ μᾶλλον, ὧν ἀφηρέθης, λυπεῖσθαι χρεών, ἢ ὧν ἔχεις εὐφραίνεσθαι, τῷ παρασχόντι Θεῷ χάριν ὁμολογοῦντα. τὰ ἑαυτοῦ γάρ, οὐ τῶν ἡμετέρων οὐδὲν ἀπέλαβεν ὁ δεσπότης. πῶς γάρ; οἷς γε καὶ αὐτὸ τὸ ζῆν ἐξ ἐκείνου. εἰ δὲ καὶ τῶν ἀφῃρημένων ἀντιδοῦναι πολλαπλασίω δυνατὸς ὁ Θεός, καὶ μάλισθ' ὅσοι μὴ μέμνηνται μικροψύχως τῶν οἰχομένων μηδ' ὡς οὐκέτ' ὄντα θρηνοῦσιν, ἱκανὸν καὶ τοῦτο ταῖς ψυχαῖς παραμύθιον. ἀλλὰ ταῦτα μὲν ταύτῃ.

Περὶ δὲ σοῦ πολλὰ καὶ καλὰ τῶν ἡκόντων αὐτόθι Πελοποννησίων εἰπόντων καὶ ψήφοις ἁπάσαις τὰ βελτίω ψηφισαμένων, πάνυ γε ἥσθην. τήν τε γὰρ σὴν εὐδοκίμησιν οὐκ ἔλαττω τῆς ἡμετέρας εἰς ἡδονῆς λόγον ὁ τῆς φιλίας νόμος ἡγεῖσθαι βιάζεται, τοῖς τε περὶ σοῦ ψηφισαμένοις τὰ ὄντα συγχαίρομεν φίλοις τε οὖσι. καίτοι σοῦ στερομένους καὶ τῆς σῆς οὐσίας ἀγαπᾶν, οἷς ἕτεροι συνόντες σοι χαίρουσι, σκιάν ἐστιν ἡδονῆς διώκειν καὶ εἴδωλον τῆς ἀληθοῦς ἀμελοῦντας. ἀλλ' ὅμως τούτου γε στερομένους τὰ νῦν τῇ τῶν περιϊσταμένων πραγμάτων ἡμᾶς τυραννίδι, τοῖς γε δευτέροις εὐφραίνοις, ταῖς ἀγαθαῖς περὶ σαυτοῦ φήμαις, μέχρις ἂν καὶ αὐτοὶ καθαρώτερον τῶν σῶν καλῶν ἀπολαύσαιμεν.

### 11. ⟨Βησσαρίων⟩ M 56

### Ματθαίῳ καὶ Ἰσιδώρῳ τοῖς ἱερομονάχοις.

Εἴ που πολὺ μὲν ὑμῖν πένθος, πολλὰ δ' ἐπέρρευσε τὰ δεινά, μᾶλλον δ' οὐχ ὑμῖν μόνον καὶ ὅσοι τῆς αὐτῆς ὑμῖν πόλεως, ἀλλὰ καὶ πᾶσι τοῖς ἄλλοις, ὅσοι γῆς οἰκοῦμεν ὁπηδήποτε ἄλλος ἐν ἄλλῃ γενόμενοι. ζῶντι δ' ἐκείνῳ τῷ μακαρίτῃ πατρὶ συνεμίξαμεν εἰς λόγους ἐλθόντες, τά τε ἄλλα καὶ τῆς ἀρετῆς αὐτοῦ καὶ σοφίας τῆς ἐν ἔργοις καὶ λόγοις ὀνάμενοι. ὃς γὰρ δὴ περιὼν κοινὸν M 56v
ἦν ἀγαθὸν καὶ μεγάλη τις εὐφροσύνης ὑπόθεσις καὶ μόνον ὁρῶσιν εἰς αὐτόν. πῶς οὗτος οἰχόμενος ἐξ ἡμῶν οὐ βλάβης μὲν ἔσται καὶ ζημίας αἰτία μεγάλης, πένθους δ' ἀφορμὴ καὶ δακρύων — ἀφελόμενος ἡμῶν ἑαυτόν; ὅσοι μὲν γὰρ ἀδελφὸν ἢ πατέρα θρηνοῦσιν οἰχόμενον ἤ τινα τῶν ἑταίρων τε καὶ ἡλίκων, οὐθ' ἑαυτοὺς οὗτοι λελήθασιν ἑνός τινος τῶν καλῶν πάντως στερόμενοι. οἵ τε παραμυθούμενοι ῥᾷστα πείθοιεν ἂν καθ' ἑνὸς στρατευόμενοι τοῦ λυποῦντος. ἂν δέ τις τούτων ἁπάντων ἀθρόον αἴσθηται γυμνωθείς, τοῦτο δὴ τὸ ἡμέτερον. καιρίαν μὲν ὡς οὐχ ἕτερος τόν γε τοιοῦτον ἀνάγκη πληγῆναι· οὐκ ἀνασχετὰ δ' οἰομένῳ παθεῖν οὐκ ἄν τις ῥᾳδίως ἐπιτιμήσαι. καίτοι γ' ἡμῖν, τίνος μὲν οὐ πατρὸς μᾶλλον εὐνόει καὶ ἐρρύθμιζε καὶ ὑπετίθετο τὰ συνοίσοντα, καὶ ταῖς εἰς τὸ θεῖον λιταῖς καὶ διδασκαλίαις ὁ γενναῖος συλλαμβάνων

---

20 Εἴ που] που M | ἐπέρρευσε] ἐπέρευσε M

Ep. 11. Der Brief bezieht sich wie Ep. 9 auf den Tod von Bessarions früherem Lehrer, des Erzbischofs von Selymbria. Die Hieromonachoi Matthaios und Isidoros waren Mitschüler Bessarions. Das Schreiben würdigt die Persönlichkeit des Verstorbenen. Trostgründe findet der Verfasser in der Hl. Schrift, aber auch bei Euripides.

Überliefert ist der bisher noch ungedruckte Brief: Venedig, Cod. Marc. gr. 533, fol. 56—57 v (= M).

ἐκεῖνος; τίνα δ' ὅρον φιλίας οὐ κατόπιν ἀφῆκε, τὴν ψυχὴν ὑπὲρ ἡμῶν δεῆσαι προέμενος ἂν ἑτοιμότατα; τίνος δ' ἀδελφοῦ στοργὴν οὐκ ἀπέκρυψεν εὔνου τῇ περὶ ἡμῶν ἀγάπῃ τε καὶ φιλίᾳ; οὕτω μετὰ πολλοῦ μὲν ἡμῖν τοῦ περιόντος ἦν ἅπαντα ταῦτα. οὐκ ἔλιπε δὲ στοργῆς εἶδος οὐδὲν οὐδ' εὐνοίας, ᾧ μὴ διετέλει δεξιούμενος ἅπαντας. ἀλλ' ὁ κοινὸς αὐτὸν οἴ μοι συσχὼν ἄρτι θάνατος ἀθρόον ἡμᾶς πάντων ἐγύμνωσεν, ἑνὶ τούτῳ θλίψεων ἡμῖν ἐσμὸν συμφορήσας καὶ ποικίλην τῶν ψυχῶν καταχεάμενος ἀθυμίαν.

Ἀλλ' ὢ τίς ἡμῖν ἐβάσκηνε τῶν καλῶν δαίμων; τίς τὸν τοσοῦτον ἐπιβουλεύεσθαι ἐξεκένωσε πλοῦτον; τίς ἀνέτρεψε τὸν θησαυρὸν καὶ ἐσκέδασεν; εἵμαρτό μοι καὶ τὸν σὸν ἄρα θάνατον πρὸς ἄλλων καλῶν γενναίων ἰδεῖν, ἄνθρωπε τοῦ Θεοῦ, κανὼν ἀρετῆς, μιμητὰ Θεοῦ καὶ τῶν θείων, εἰκὼν τἀγαθοῦ καὶ τύπος ἀκριβὴς τῶν ἀρίστων· μᾶλλον δ' ἐν ὑπερορίᾳ πυθέσθαι, μηδὲ ῥημάτων σου τῶν ὑστάτων ἠξιωμένον, μηδ' εὐλογίας τυχόντα τῆς ἐξ ὁσίου καὶ εὐχῶν τῶν πολλὰ δυναμένων, ὥστ' ἐπ' ἐμαυτοῦ μὲν πενθεῖν ἀναγκάζεσθαι καὶ δακρύοις ἐκτήκεσθαι, τοῖς δὲ κατ' ἴχνος ἑπομένοις σοι τέκνοις, ἐμοὶ δὲ πατράσιν, λόγους συλλέγειν παραμυθίας καὶ ἐπαντλεῖν αὐτοῖς οἰδαίνουσαν τῇ συμφορᾷ τὴν ψυχὴν καὶ καταστέλλειν τὸ πάθος, οὓς ἄλλον σαυτὸν ἄντικρυς ἡμῖν καταλελοιπὼς καὶ τῷ βίῳ πάνθ' ἡμῖν ἐσομένους ὅσαπερ σύ, σὲ μορφωθέντας καὶ τὸν Χριστὸν καὶ τὸ κείνου ταῖς σαῖς τέχναις εἶδος ἐντετηκὼς φέροντας. ὅσα γ' ἐλύπησας μεταστάς, τί τίς ἂν λέγοι;

M 57 Καίτοι γ', ὦ ἄνδρες ἱεροὶ καὶ σεβάσμιοι, οὐκ οἶδα, πότερον ὑμῖν ἐμὲ μᾶλλον, ἢ ὑμᾶς ἐμοὶ δεῖν ἐπιπλάττειν. κρινεῖτε τὰ φάρμακα· λύπης μὲν γὰρ εἵνεκα καὶ ζημίας καὶ τοῦ τὴν ψυχὴν σφόδρα δειχθῆναι καὶ δέξασθαί γε καιρίαν οὐδ' αὐτοὶ φαίητ' ἂν ἔλαττον ἐμὲ σχεῖν, κοινοῦ πατρὸς καὶ κοινῆς ὠφελείας ὄντος ἐκείνου τοῦ θαυμαστοῦ, ἐμοῦ τε τῶν ἄλλων αὐτοῦ τέκνων ὅσα γε τὰ πρὸς τὴν ἐς αὐτὸν πίστιν καὶ εὔνοιαν οὐδὲν διαφέροντος, ἢ ὅσον οὐχ ὑπὸ μίαν ἐνεμόμεθα μάνδραν, τοῦ αὐτοῦ ποιμένος ὅμως ἐπιστατοῦντος, ταὐτῷ τε καλαύροπι νουθετούμενοι καὶ τῇ αὐτῇ κηλούμενοι σύριγγι· παιδεύσεως δὲ καὶ ψυχῆς γενναιότητος καὶ τοῦ διαφέρειν εἰδέναι γενναίως τὰ ἐπιόντα καὶ νουθετεῖν ἄλλους, τίς οὕτω μαινόμενος, ὡς μὴ τῶν πρωτείων ὑμῖν ἑτοίμως παραχωρεῖν;

Εἰ δὴ ταὐτὸ μὲν ἡμῖν πάθος, ὑμῶν δὲ τὸ φέρειν δύνασθαι καὶ διδάσκειν, ὑμεῖς ἂν εἴητε δίκαιοι τὸν ὑπὲρ τούτου λόγον ἀναλαβόμενοι ἡμᾶς τε παραμυθεῖσθαι καὶ ἑαυτούς, οὐ λέγοντες μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις πολλῷ πρότερον ὑφηγούμενοι. ὃς μόνος πιθανώτατος τρόπος διδασκαλίας καὶ τὰ πλεῖστα δυναμένη παράκλησις. τό τε γὰρ μηδὲν φανῆναι κενὸν ὑπὸ τὸν ἥλιον, μήτε τι γεγονέναι, ὃ μὴ γενήσεται, καὶ μὴ γενήσεσθαι, ὃ μὴ γεγένηται, τὰ Σολομώντεια δὴ ταῦτα φιλοσοφήματα συλλήψεται τῆς διδασκαλίας ὑμῖν καὶ πείσει τοὺς ἄλλους μακροθυμεῖν, ὡς οὐκ αὐτοὺς οὐ πρώτους, οὐ μόνους ἀποβαλομένους θανάτῳ τὸν πατέρα τε καὶ διδάσκαλον. τὸ γὰρ μετὰ πολλῶν μὲν καὶ καλῶν ἄλλων τοῦτο παθεῖν, μετὰ πλείστους δ' ἑτέρους, καὶ ὅσους οὐδὲ ῥᾴδιον ἀριθμεῖν, οὐκ ἀσθενὲς ταῖς ψυχαῖς φάρμακον. τό τε βροτὸν γεννητὸν γυναικὸς ὀλιγόβιον εἶναι, καὶ παλαιστὰς τὰς ἡμέρας ἡμῖν,

ΕΓ.ΑΠΠ.Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἠρινὸν ἄνθος καὶ χόρτον τὸν ἄνθρωπον ἱκανὸν εἰς παράκλησιν. τό γε μὴν τὸν ἅπαξ γεννώμενον καὶ τεθνάναι ἀνάγκη. πόσην ἀνάγκην ἐποίσει φιλοσοφεῖν καὶ τὸ μέτρον κἀνταῦθα τιμᾶν οὐκ ἐκφερομένους τοῦ πρέποντος; τὸ γὰρ τὰ ὑπερφυῆ ζητεῖν καὶ ἀδύνατα μὴ οὐχ ἡμέτερον καὶ τῶν καθ' ἡμᾶς ὅλως ᾖ.

Εἰ δὲ καὶ τὸ Εὐριπίδειον ἐκεῖνο τιμᾷς καὶ θαυμάζεις ὡς ἀληθείας ἐχόμενον, ᾧ τοὺς γεννωμένους ἀποκλαιομένους, τοὺς οἰχομένους δεῖν φησι μακαρίζειν καὶ μετ' εὐφημίας τῷ τάφῳ προπέμπειν ὡς μεγίστων ἀπαλλαγέντας κακῶν, εἴ τις οὐ μεγίστων ἀπήλλακται κακῶν μόνον, ἀλλὰ καὶ μεγίστων προσαπήλαυσεν ἀγαθῶν, ἔγγιστα γενόμενος τοῦ Θεοῦ καὶ τῆς ἐκείνου τρανῶς ἀπολελαυκὼς θεωρίας, ἃ παντὸς μᾶλλον ἐπὶ τοῦ θείου τούτου καὶ μακαρίτου M 57ᵛ
πατρὸς ἔστιν ἐλπίζειν, πῶς οὐ θείαν τινὰ τῷ τοιούτῳ χρὴ ζητοῦντας τιμήν, τῷ μὲν ὡς ἥρωι καί τινι τῶν ὑπεραναβεβηκότων τὸν ἄνθρωπον καθαγίζειν καὶ εὔχεσθαι, σφᾶς δ' αὐτοὺς πρὸς τὸν ἐκείνου ζῆλον ἰθύνοντας, ἑνὸς τούτου φροντίζειν, τῆς ἀρετῆς τε καὶ τοῦ βελτίονος; ἄνδρα γὰρ δὴ μὴ μόνον οὐ τεθνεῶτα, ἀλλὰ καὶ νῦν μάλιστα τὴν ἀψευδῆ βιοῦντα ζωὴν πῶς συγχωρήσετε πενθεῖν τε καὶ ἀποδύρεσθαι, εἰ μὴ μέχρι τῶν ὁρωμένων ὁριοῦμεν τὰ ἀγαθὰ καὶ ὑπὲρ ταῦτα νομιμοῦμεν ὅλως εἶναι μηδέν; ἐγὼ δὲ κἀκεῖνο ἐνεθυμήθην, ὡς οὐκ ἂν ὄντος δεινοῦ τοῦ θανάτου, μᾶλλον δ' οὐκ ἄν, εἰ μὴ μέγιστον ἦν ἀγαθόν, ὁ γενναῖος ἐκεῖνος ἀνὴρ καὶ πρὸ τῆς λύσεως λελῦσθαι ἐπείγετο καὶ μετῄει βίον ἐν σώματι ἄϋλον τοῦ σωματικοῦ βάρους ἀποζευγνύμενος ὡς ἐνὸν καὶ τῷ σαρκικῷ δυσχεραίνων δεσμῷ καὶ τῆς ὕλης ἀνάγων τὸν νοῦν καὶ τούτῳ ζῶν μόνῳ καὶ τῷ καθαρῷ Θεῷ συγγινόμενος. εἰ δ' ἀγαθὸν ἡ θανάτου μελέτη καὶ μέρος εὐδαιμονίας, καὶ οὐκ ἔστι καθαρᾶς ἀπολαύειν φρονήσεως μὴ διαζευγνυμένους ὡς ἐνὸν τοῦ συντρόφου φορτίου, τὸ παντάπασιν ἀποθέσθαι τὸν χοῦν — πῶς οὐ ζηλωτὸν καὶ μακάριον ὄν; — μεγάλην ὑμῖν παρέξει ῥοπήν, φιλοσοφεῖν ἐπὶ τοῖς οἰχομένοις διδάσκουσι καὶ μέτρα πένθους ὁρίζουσι. καίτοι τί ταῦτα μηκύνω ὡς δή τι κατασκευάζων; ἔξεστιν ὑμῖν βουλομένοις πολλὰ μὲν ἀπὸ σφῶν αὐτῶν πορισαμένους καὶ ἧς συνελέξατε πείρας καὶ γνώσεως, πλείω δ' ἀπὸ τοῦ θείου τῶν γραφῶν ἀρυσαμένους θησαυροῦ καὶ καλλίω τῶν τε οἰκείων ἀποσκεδάσαι τὸ πάθος ψυχῶν καὶ ἡμῖν ἐπαμῦναι παραμυθίας ἐπιπλασαμένους τὰ φάρμακα, ὑμῖν μετ' ἐκεῖνον ἀντ' ἐκείνου τὰ πάντα πλουτοῦσι, τά τ' ἐς Θεόν, τά τ' ἐς ἀνθρώπους.

## 12. ⟨**Βησσαρίων**⟩

Τῷ μεγαλοπρεπεστάτῳ καὶ λαμπροτάτῳ Κυρίῳ M 58ᵛ

**Ἰωάννῃ Λάσκαρι τῷ Λεοντάρῃ.**

Βησσαρίων, εἰ καὶ μὴ κατ' ἀξίαν, χάριτι δ' οὖν ὅμως εἰς ἱερομονάχους τελῶν τῷ περιφανεστάτῳ καὶ πάντων ἀγαθῶν πλήρει καὶ ποθεινοτάτῳ κυρίῳ μοι Ἰωάννῃ Λάσκαρι τῷ Λεοντάρῃ χαίρειν.

20 ἐπείγετο *scripsi* ἠπείγετο M | 36 *in marg.* Ἐπιστολή

Ep. 12. Widmungsschreiben Bessarions an Johannes Laskaris aus Leontarion zu einer katechetischen Schrift für dessen Sohn Demetrios. Diese bisher noch

Β.Π. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Εἰ πάνυ πολὺν χρόνον ἐσκόπεις, ὅπως ἂν ἄριστά τε συνείποις σαυτῷ κἀμὲ δείξαις ἀληθεύοντα τὰς κατὰ σοῦ εὐφημίας, οὐκ ἂν οἶμαί σε τοῦτο σχεῖν ἄλλως ποιῆσαι, ἢ τῷ σῷ καὶ μετὰ σὲ καταλιπεῖν υἱεῖ κανόνα τοῦ βίου θελήσαντα· τὰς σὰς φωνὰς ταύτας καὶ ἱερὰς ὑποθήκας. εἴπερ γὰρ κατὰ τὸ τοῦ σωτῆρος λόγιον ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ ἀγαθόν, πῶς οὐχὶ κατηγορήσει σου τὴν ἔνδον διάθεσιν τῆς ψυχῆς; ταυτί σου τὰ ῥήματα καὶ τῶν λόγων ἡ χάρις. ὁ γὰρ ἑτέρῳ καὶ τούτῳ τῶν μάλιστα φιλουμένων ὑποτιθέμενος, ἅττ' ἂν οἴηται συνοίσειν αὐτῷ, πρῶτος πάντως αὐτὸς φθάσας ἔργοις ἔγνω καὶ πείρᾳ τὸ κεῖθεν ὅσον τι πέφυκεν ὄφελος. θεῖον οὖν χρῆμα τῷ ὄντι ἡ ἀρετὴ πρὸς τῷ ἄριστον εἶναι καὶ τέλειον καὶ πολύκοινον οὖσα. ἰδοὺ γάρ, καὶ πρὸς ἄλλους διὰ σοῦ μεταδίδοται, καὶ πᾶσιν ἔξεστι πάντως, οὐ τῷ παιδὶ μόνον, ἐντυχοῦσι τῷ γράμματι τῷδε πολλὴν ἐντεῦθεν καρπώσεσθαι τὴν ὠφέλειαν. σὲ δὲ ταῦτα βεβουλημένον καὶ οὕτω κοινὸν ἀγαθὸν πᾶσι προθεῖναι θελήσαντα ἑτέροις ἔδει τὰ κατὰ σκοπὸν ἀναθεῖναι καὶ πρὸς τὴν τῶν σῶν νοημάτων ἀπαγγελίαν ἐναγαγεῖν, οἳ ταῦτά τε μηδὲν παραλιπόντες ἐτίθεσαν ἂν καὶ τὰ παρ' ἑαυτῶν προσετίθεσαν.

Νῦν δ' ἡμῖν ἐπιτάξας τὸ ἔργον, οὐδέν τι προὔργου πεποίηκας. ἐγὼ γὰρ τοῦτο μὲν τὴν ἀξίωσιν αἰδεσθείς, τοῦτο δὲ τὸ τοῦ πράγματος εὔλογον, ὑπέθηκα μὲν ἐμαυτὸν τῷ περὶ ταῦτα ἀγῶνι, πολλὴν δ' ὅμως ἀμαθίαν ἐν ἐμαυτῷ περιφέρων· οὐχ ὅπως γε προσεξεῦρον τοῖς παρὰ σοῦ μοι ῥηθεῖσιν, ἀλλὰ κἀκείνων ἐπιλέλησμαι δήπου τὰ πλείω. ἀλλὰ χρηστὸς αὐτὸς ὢν καὶ πολλάκις ἡμῖν ἐπὶ πολλοῖς συγγνώμων γενόμενος συγγνώσῃ πάντως καὶ νῦν ἐπὶ τούτοις,
M 59 καὶ μάλιστα εἰδώς, ὡς οὐδὲν τῶν ἐς δύναμιν ἡμετέραν παρῶπται. τάχα δὲ καὶ προσειδήσεις ἡμῖν χάριν, ὅτι δή σοι μὴ τὰ καθ' αὑτοὺς ὑπολογισάμενοι τὴν γλῶτταν προθύμως ἐχρήσαμεν διηρμηνευκότες σου ταυτὶ τὰ νοήματα καὶ γραφῇ παραδόντες. τὴν δὲ αἰτίαν τῷ πρὸς τὸν χρηστὸν Δημήτριον φίλτρῳ τιθέμενός τις οὐκ ἂν ἁμάρτοι. ὃν ὅσα καὶ ἡμεῖς στέργομεν, αὐτὸς οἶδας οὐ πολὺ πάντως ἔλαττον αὐτοῦ τοῦ γεννησαμένου.

Δέχου τοίνυν τὸν λόγον εἰργασμένον ἡμῖν, ὡς ἐνῆν, μείω μὲν ἤπερ αὐτὸς ἐβούλου, τὰ αὐτὰ δὲ ἴσως δυνάμενον. ὃν δὴ δοκιμάσαντες ἐν κεφαλαίοις τισὶ διελέσθαι, τὸν κε' παρειλήφαμεν ἀριθμόν, τό τε διττὸν τετιμηκότες τῶν τοῦ σωτῆρος φοιτητῶν μέτρον καὶ σύμβολον ὥσπερ τῆς Ἰησοῦ θεότητος ἐπιθέντες αὐτῷ τὴν μονάδα, ἀρχὴν οὖσαν παντὸς ἀριθμοῦ καὶ αἰτίαν, ὡς ἐκείνη τῶν ὄντων ἁπάντων· ἔτι δὲ καὶ ἄλλο τι διδόντες νοεῖν. αὐτὸς μὲν γὰρ

6 αὐτοῦ] αὑτοῦ M | 20 ἐμαυτῷ *scripsi* ἑαυτῷ M | 33 τῆς Ἰησοῦ θεότητος M *in marg.*

ungedruckte Schrift, Κάνων τοῦ βίου, gibt in 25 Kapiteln eine Darstellung der Glaubens- und Sittenlehre und ist wohl als erster Versuch Bessarions auf dem Gebiet der theologischen Schriftstellerei zu betrachten. Die Anregung dazu ging, wie die Widmung besagt, auf Johannes Laskaris zurück.

Die bisher noch ungedruckte Widmung ist überliefert: Venedig, Cod. Marc gr. 533, fol. 58 v—59 (= M), der Κάνων τοῦ βίου ebenda fol. 59—106.

ἅπας ὁ κε´ τετράγωνος ὢν καὶ κυκλικὸς ἐπ᾽ ἀσφαλοῦς τε στήσει τὸν παῖδα ἐρείσας καὶ πάντως ἀμετακίνητον αὐτὸν τῶν καλλίων ἐργάσεται. τοιοῦτον γὰρ τὸ τετράγωνον καὶ πρὸς τὴν πάντων τῶν ὄντων αἰτίαν, ὅς ἐστιν ὁ Θεός, αὐτὸν ἐπιστρέψας ἑνώσει μετὰ τοῦ κρείττονος. τοῦτο δὴ τὸ τοῦ κύκλου τῇ κείνου πείθων θεωρίᾳ προσασχολεῖσθαι, διαιρούμενος δ᾽ αὖθις τρίγωνόν τε καὶ τετράγωνον ἅμα καὶ ἑξάγωνον δείκνυσι σχῆμα. τρίγωνος μὲν γὰρ ὁ τρία καὶ ὁ ἓξ ἅμα. ὁ δ᾽ αὐτὸς καὶ πρῶτος ἑξάγωνος καὶ τέλειος μόνος τῶν ἐντὸς τῆς δεκάδος. ὁ δ᾽ αὖ δέκα ἓξ τετραγώνῳ ὁρίζεται σχήματι.

Σὺν Θεῷ τοίνυν τῇ τῶν ἀρετῶν τετρακτύϊ περιφραχθεὶς καὶ τὸ μόνιμον καὶ ἀσφαλὲς ἐν αὐταῖς σχὼν πᾶσάν τε ὑπεραναβὰς τὴν ἑξαδικὴν τῆς παρούσης διακοσμήσεως περιγραφὴν καὶ πρὸς τὴν εὐσεβῆ τῆς θείας τριάδος πεφθακὼς γνῶσιν, ἐκεῖθεν ἀεὶ ἐλλαμπόμενος τῆς ἄκρας ἐπιλήψεται τελειότητος ὁ πρὸς ὃν ἡ παραίνεσις. γένοιτο δὲ ταῦτά τε ἀποβῆναι καὶ τοὺς ἐντεῦθεν μισθοὺς ἀπολήψεσθαι, σὲ μὲν μάλιστα πάντων, οὐ μὴν δ᾽ἀλλὰ καὶ ἡμᾶς ὑπουργήσαντάς σου προθύμως τῇ βουλήσει καὶ τῷ σκοπῷ πάντως ἀγαθῷ καὶ κατὰ Θεὸν πεφυκότι.

## 13. Βησσαρίων Καρδινάλιος M 268

## Κωνσταντίνῳ Παλαιολόγῳ χαίρειν.

Τρίτην ταύτην ἐπιστέλλων σοι, κράτιστε δέσποτα, μετὰ τὸ τὸν ἰσθμὸν 1.
τειχισθῆναι, οὐκ ἀπεικὸς οἶμαι ποιεῖν πολλάκις περὶ τῶν αὐτῶν γράφων.

Ep. 13. Dem vorliegenden Brief Bessarions waren zwei andere Briefe an Konstantin Palaiologos vorausgegangen, die die gleichen oder ähnliche Fragen zum Gegenstand hatten, uns aber nicht erhalten sind. Das besagt der Eingang: Τρίτην ταύτην ἐπιστέλλων σοι, κράτιστε δέσποτα, μετὰ τὸν ἰσθμὸν τειχισθ ναι, οὐκ ἀπεικὸς οἶμαι πολλάκις περὶ τῶν αὐτῶν γράφων. In seinem Umfang war das Schreiben nahezu zu einer Denkschrift angewachsen. Der Briefschreiber bemerkt selber: Ταῦτα μακρότερα μὲν ἢ κατ᾽ ἐπιστολὴν εἴρηται . . . ( . 15). Bessarion, ebensosehr als hervorragender Kenner der Verhältnisse im Peloponnes wie als glühender Patriot, entwickelt hier gegenüber dem Fürsten seine weitschauenden Pläne, die seine staatsmännische Begabung zeigen. Nachdem die Befestigungswerke am Isthmos von Korinth (Sp. Lampros, Τὰ τείχη τοῦ ἰσθμοῦ τῆς Κορίνθου κατὰ τοὺς μ σους αἰῶνα . Νέος Ἑλλην μνήμων II [1905] 435—489), die 1423 von Turchanos zerstört worden waren (Sp. Lampros, l. c. 469), wieder hergestellt sind, ist für ihre dauernde Verteidigung zu sorgen. Es sind Städte anzulegen, zu deren Besiedlung die heutige Bevölkerung wohl geeignet ist. Dafür müssen sie ausgebildet werden. In Konstantins Hand liege hiermit die Aufgabe, der Befreier Europas zu werden. Weiter gibt er Richtlinien für die Hebung der Volkswohlfahrt. Dafür sind auch Mittel aufzuwenden. Wenn früher die Lateiner die griechische Bildung übernommen haben, dann muß diese wieder zu den Griechen zurückgebracht werden. Das einheimische Gewerbe, wie die Seidenindustrie, die Ausbeutung der Naturschätze des Landes ist zu fördern. Seinem Wissen nach findet sich in der Nähe des antiken S ar a und am Eurotas Eisenerz, das gefördert und verarbeitet werden muß. Ebenso ist Holz zu gewinnen und der Schiffsbau zu pflegen. Neben der Beschäftigung des Volkes dient das in erster Linie zur Abwehr des Feindes. Zur Erlernung der notwendigen Kenntnisse sind jüngere Leute nach Italien zu schicken, um nachher in der Heimat als Meister tätig zu werden.

οὕτω με τό τε τοῦ πράγματος μέγεθος, ἥ τε τῆς ψυχῆς ἄρρητος ἡδονή, ἣν τῆς ἀληθείας μοι μαρτυρούσης, ὡς ἐπ' οὐδενὶ τῶν ἐκ παιδὸς συμβάντων μοι καταθυμίων διηνεκῆ τε καὶ ἀκμάζουσαν ἐπὶ τοῦτον ἤδη χρόνον ἔσχον, κινοῦσι καὶ μὴ βουλόμενον γράμμασιν ἐκφαίνειν τὸ πάθος.

2. Χαίρων τοίνυν αὐτὸς καὶ πόσην οἴει καρπούμενος εὐφροσύνην, ὃ πάλαι ποτ' ἐπόθουν καὶ ποθῶν ἰδεῖν ἐπεθύμουν, τετελεσμένον ὁρῶν οὐχ ἥκιστα, σοὶ καὶ τῷ γένει συγχαίρω καὶ πᾶσιν ὅλως τοῖς Ἕλλησι, πρότερον μὲν οὐ ψυχὰς μόνον, ἀλλ' οἷον καὶ αὐτὴν τῶν σωμάτων ἀνακειμένοις τὴν ῥώμην καὶ συγκαταπεπτωκόσιν αὐτῷ τῷ Ἰσθμῷ, νῦν δ' ἐγερθέντος διὰ σοῦ καὶ αὐτοῖς τήν τε ἀνδρείαν τήν τε ῥώμην συναναστησομένοις, τά τε ἐκτὸς πάντα καὶ τὴν ἐν τούτοις εὐδαιμονίαν, εἰρήσθω δὲ σὺν Θεῷ, σοῦ ἡγουμένου ἀποληψομένοις. σοὶ δ' ὅτι τὰς κοινὰς ἐλπίδας οὐκ ἔψευσας, μᾶλλον δ' ὅτι καὶ πολλῷ αὐτὰς ὑπερεβάλου, τῷ μέτρῳ συγχαίρων, πολλὰ ἐκ Θεοῦ εὔχομαι ἀγαθὰ καὶ μακρὰν ἐπὶ πᾶσι ζωήν, ἧς τὰ μακρὰ ἡμῶν καὶ πολυετῆ ὥστε ἀναστῆναι δέονται πτώματα. σὺ γὰρ σφόδρα καὶ πρὶν ἐπεθύμεις ἡρωϊκὰ ἐπιδείξασθαι ἔργα, καὶ νῦν ἅμα τε ἀφορμῆς καὶ δυνάμεως ἐπελάβου καὶ πρὸς ἔργα ἐχώρησας, θεμέλιον οὐκ ἀγενὲς τοῖς μέλλουσι προκαταβαλλόμενος πράγμασι. σοῦ τὴν ψυχὴν οἶδα πόσος ἀναφλέγει ζῆλος τῶν παλαιῶν ἐκείνων ἀνδρῶν, κἀκ μικρᾶς ἀφορμῆς μεγάλα διαπράξασθαι δυνηθέντων. οὐκ ἀγνοῶ, οἷα καθ' ἑκάστην λογίζῃ, οἷα ἐπιθυμεῖς, οἷα διανοῇ. ἃ τῷ νῷ συλλαμβάνεις καὶ ὥστε εἰς τέλος ἐξενεγκεῖν πάντα μηχανᾷ τρόπον. οὐκ ἀμφιβάλλω παραστήσεσθαί σοι τὸν Θεὸν σύμμαχον, ἐπόπτην, συνεργόν τε καὶ βοηθόν. ἐκεῖνός τε γὰρ φιλάνθρωπος καὶ φιλάρετος. σύ τε ἄξιος ὑπηρέτης ἐκείνου, πολὺν τῶν ἀρετῶν ποιούμενος λόγον. ὧν ἆθλα οὐ τὰ μέλλοντα μόνον, ἀλλ' ἤδη καὶ τὰ παρόντα προὔθηκεν εἰς τὸ μέσον, οὐ κακίας, οὐδ' ἀμελείας τε καὶ ῥᾳστώνης, οἷς ἐπὶ πολὺν συνεχόμενοι χρόνον οὐκ ἀπεικότως αὐτοί τε ἀπολώλαμεν καὶ τὰ ἡμέτερα ἀπωλέσαμεν. ἀλλὰ νῦν τὴν ἐναντίαν σοῦ ἡγουμένου τε καὶ ὑποδεικνύντος ἰόντες, τοῖς ἐναντίοις τε καὶ πάντως ἀγαθοῖς ἐντευξόμεθα.

3. Ταῦτά με εὐφραίνει. ταῦτα ἐν ἀρρήτῳ ἡδονῇ κατέχει. ταῦτά μοι γλυκυθυμίαν ἀδιάκοπον ἐμποιεῖ. ὧν τὰ μὲν ἤδη γεγενημένα, τὰ δ' ὡς ἐψόμενα τῷ φανταστικῷ τῆς ψυχῆς ὀφθαλμῷ οὐ στοχάζομαι μόνον, ἀλλ' οἷον ἤδη ὁρῶ.

---

1 τε M] *L om.* | 13 ὑπερεβάλου] ὑπερεβάλλου M | 17 θεμέλιον M *corr. ex* θεμέλια | ἀγενὲς] ἀγεννὲς M | προκαταβαλλόμενος M] προκαταβαλόμενος *L corr.*

Der Brief ist undatiert überliefert. Wie Lampros nachweist, waren die neuen Befestigungen am Isthmos 1443 fertiggestellt. 1446 erfolgte der neue Einbruch des Sultans Murat. Somit schrieb Bessarion zwischen 1443 und 1446, also aus seinem Aufenthalt in Rom unter Eugen IV (Sp. Lampros, Νέος Ἑλληνομνήμων III [1906] 28 sq.)

Überliefert ist der Brief: Venedig, Bibl. Marc. Cod. gr. 533, fol. 268—271 v (= M), in nicht leicht lesbarer, winzig kleiner Schrift. Erstmalige Ausgabe von Sp. Lampros: Νέος Ἑλληνομνήμων. Ἐν Ἀθήναις. III (1906) 12—27 (= *L*). Einen Ausschnitt davon (n. 2—n. 4 Mitte, χαίρων . . . τῇ ἀπουσίᾳ) hatte Lampros bereits II (1905) 477 ff. veröffentlicht.

Τειχίσας μὲν οὖν τὸν ἰσθμόν, βασιλικώτατε ἄνερ, ἄριστα καὶ ἀξίως 4. σαυτοῦ ἐβουλεύσω. μὴ μέχρι δὲ τούτου διανοηθεὶς στῆναι, ἀλλὰ προσέτι καὶ πόλιν ἐκεῖσε ἱδρύσασθαι, ἔτι μᾶλλον ἄξια θαύματος ἐλογίσω. καὶ γὰρ ἄνευ μὲν φυλάκων, οὐδὲν ἄν ποτε δυνηθεῖεν μόνα τὰ τείχη. φύλακες δὲ ἄνευ παρακειμένης πόλεώς τε καὶ πολιτείας οὔτ' ἂν ἱκανοί, οὔτ' ἂν μόνιμοί τε καὶ βέβαιοι εἶεν. οὔτ' ἂν ἐν ἅπασι καὶ τοῖς ἀναγκαίοις καιροῖς δύναιντ' ἂν ἐκ M 268v τῶν προχείρου παρεῖναι. καὶ τούτου μάρτυς ὁ χρόνος καὶ τὰ προλάβοντα παθήματα. ὅθεν εἰ μὲν γέγονεν εἴτε καὶ γίνεται, ταῦτα γίνεται, ἅπερ ἔδει γενέσθαι. εἰ δ' οὔπω καὶ νῦν ἀρχὴν ἔλαβε, καλῶς ἂν ἔχοι καὶ ἄρξασθαι καὶ τελέσαι, μᾶλλον δέ γε καὶ ἀναγκαίως, καὶ οὗ χωρὶς οὐκ ἄν ποτε σχοίη καλῶς, οὐδ' ἂν ἔργον τετελεσμένον ῥηθείη. καίτοι καὶ τούτου γεγενημένου, εἰ μὴ καὶ τὰ βασίλεια ἐκεῖ ἱδρυθείη καὶ προκαθημένη τῶν ἄλλων γένοιτο πόλις, οὐκ ἂν δυνηθείη τοσοῦτον. τῶν γὰρ ἐντὸς τῆς Πελοποννήσου σὺν Θεῷ μηδὲν δεδιότων, περὶ τὸν ἰσθμὸν ὡς ἐπὶ τὸ πολὺ δεῖ τὸν ἄρχοντα ἐγχρονίζειν, τὰ μὲν ἐπικουρήσοντα τοῖς ἰδίοις, εἴ τις ἐπέλθοι τῶν πολεμίων, τὰ δ' ἐκδραμούμενον ἐν τοῖς προσήκουσι χρόνοις κατὰ τῶν παρακειμένων ἐχθρῶν καὶ μὴ τοὺς καιροὺς ἀπολλύντα τῇ ἀπουσίᾳ. ἐλπὶς μὲν γάρ ἐστι σὺν Θεῷ τῷ τε διὰ θαλάσσης τῷ τε πεζικῷ ὑμῶν τε καὶ τῶν ἄλλων Χριστιανῶν στρατῷ, οἳ πάντες τανῦν ὥσπερ ἐξ ἑνὸς θείου συνθήματος κατὰ τῶν ἀσεβῶν ἐκινήθησαν, τελέως αὐτοὺς τῆς Εὐρώπης ἀπελαθῆναι καὶ ἡμᾶς ἐν παντελεῖ ἔσεσθαι ἐλευθερίᾳ μηδὲν δεδιότας, μήτε τοσαύτης φυλακῆς δεομένους. ἐκεῖνα μέντοι βουλεύεσθαι καὶ προκαταλαμβάνειν ἀνάγκη, ἃ καὶ ἀποτυχοῦσιν, ὅπερ ἀπείη, συνοίσει τε ἐν τῷ μέλλοντι καὶ τὰ γοῦν ὄντα σῶα διατηρήσει, ἄλλως τε καὶ τῶν νῦν ἐχθρῶν ἀποικισθέντων, οὐκ ἀνέλπιστον ὡς ἄλλους ἴσως ἕξομεν ὁμοροῦντας, ἀνθρώπους πάντως ὄντας καὶ τοῖς ἀνθρωπίνοις πάθεσιν ὑποκειμένους, ἀφ' ὧν φυλάττεσθαι καὶ τὰς ἐκείνων προκαταλαμβάνειν ἐπιχειρήσεις, νοῦν ἂν εἴη ἐχόντων ἀνθρώπων.

Οὐ μικρὰ συμβαλεῖται πρὸς δύναμιν καὶ τὰς μελλούσας ἐλπίδας ἡμῶν, 5. τούς τε ἐθέλοντας ὁθενοῦν τῶν ἔξω χώρων τὴν ἐν Πελοποννήσῳ οἴκησιν αἱρουμένους ἄσμενος ὑποδέξασθαι, ἀσυλίας ἱερὸν ἀνεῳγότας αὐτοῖς, αὐτόν τε νόμῳ πολέμου ὡς πλείστων τε σπεύδειν κρατῆσαι καὶ τοὺς κεκρατημένους οὐχ ὡς δούλους, ἀλλ' ἐπὶ τοῖς ἴσοις τοῖς ἄλλοις Πελοποννησίοις ἐς αὐτὴν ἀχθῆναι τὴν Πελοπόννησον, καὶ ταῦτα ὡς ἂν τάχιστα διαπραχθῆναι καὶ πρὸ τοῦ τοὺς νῦν ἀμειφθῆναι τῆς Εὐρώπης δεσπότας. ἐβουλόμην μὲν γὰρ ἂν εἶναι πολλαπλασίω τῆς τε νῦν οὔσης δυνάμεως ἐν Πελοποννήσῳ, ἥν τε ἡ φήμη φησὶ κἀγὼ οὐκ ἄνευ λόγου πρὸς τοὺς πυνθανομένους διϊσχυρίζομαι. οἶδα μέντοι καὶ τὴν ποσότητα καὶ τὴν ποιότητα πάντως οὐκ ἀγνοῶ, κἀντεῦθεν ὡς τὰ μάλιστα τοῖς ἡμετέροις συνοίσουσαν πράγμασιν τὴν ἔξω παρακειμένην δύναμιν ἡμετέραν γενέσθαι, καὶ βούλομαί τε καὶ εὔχομαι. οὗ καὶ σὲ μέγιστον λόγους

---

12 ἱδρυθείη] ἱδρυνθείη M | 24 ἀποικισθέντων *correxi sec. L*] ἀπῳκισθέντων M | 29 ἐθέλοντας] ἐθελοντὰς *L* | 30 ἄσμενος M ἄσμενον *L* | ἀνεῳγότας] ἀνεωγότας *L* | 35 οὔσης δυνάμεως *L trp. post* Πελοποννήσῳ

Ε.Υ.Δ.τ.τ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ποιεῖσθαι σαφῶς εἰδώς, ὅμως οὐκ ἀποκνῶ δεῖσθαί τε καὶ προτρέπειν. οὐ μὴν ἀλλὰ καὶ τούς τε νῦν ὄντας Πελοποννησίους, ὧν τάς τε ψυχὰς οἶδα γενναίας καὶ ἔμφρονας τά τε σώματα ῥωμαλέα, γυμνοὺς δὲ ἄλλως ὅπλων καὶ ἀγυμνάστους, τὸ μὲν τῇ τῶν βαρέων ἐπιστατῶν ὠμότητι καὶ ταῖς ἀπηνέσιν εἰσπράξεσι, τὸ δὲ τῇ κρατησάσῃ τοῦ γένους μαλακίᾳ τε καὶ βλακείᾳ. τούτους τε οὖν τούς τε ἄλλοθεν ἐνταῦθα ἢ ἑκουσίως ἢ βίᾳ, ὡς εἴρηται, διὰ σοῦ μετοικήσοντας πάντας ἅμα γυμνάζειν οὐκ ἀμελήσεις καὶ πρὸς τοὺς ἀληθινοὺς ἀγῶνάς τε καὶ πολέμους στομοῦν καὶ ῥυθμίζειν. ἀλλ' ἀποδώσεις μὲν αὐτοῖς τὰ ὅπλα, κουφιεῖς δὲ τὰ βάρη καὶ τὰς ἀλόγους εἰσπράξεις, ἀναστήσεις δὲ καταπεπτωκότα αὐτοῖς τὰ φρονήματα καὶ τὴν ἀρχαίαν εὐγένειαν τῆς ψυχῆς ἀποδώσεις. τό τε γεωργικὸν τό τε στρατιωτικὸν διακρίνας ἐν μέρει καὶ ὅσον μάχιμον ἀπὸ τοῦ εἰρηνικοῦ ἐκλεξάμενος, ἑκατέρῳ ἀποδώσεις τὰ ἴδια, μίαν τέχνην, ἓν ἐπιτήδευμα μετιέναι ἑκατέροις νομοθετήσας.

**6.** Καὶ γὰρ ἔστι μέν τι φυσικόν, ἔστι δέ γε καὶ διδακτὸν ἡ ἀνδρεία, καὶ οὐκ M 269 ἄν τις ἄνευ μαθήσεώς τε καὶ μελέτης πρὸς ἀνδρείαν ἐπίδοσις γένοιτο. ὅθεν τούς τε εὐφυεστέρους τούς τε ἀμβλυτέρους τὴν φύσιν, πάντας ὁμοίως ἐν οἷς ἂν ἀξιόλογοι βούλωνται γενέσθαι, ταῦτα καὶ μανθάνειν ἀνάγκη καὶ μελετᾶν. ὥσπερ οὖν Δημοσθένης, τί ἂν εἴη τῶν ἐν ῥητορικῇ πρῶτον πυνθανομένου τινός, ὑπόκρισις ἀπεκρίνατο· τί ἂν εἴη δεύτερον ἢ τρίτον, ταὐτὸ ἀπεφήνατο, οὕτω καὶ τῶν ἐν πολεμικοῖς τὰ πρῶτα καὶ μέσα καὶ τελευταῖα οὐκ ἂν ἀπεικότως, μάθησίς τε καὶ ἄσκησις καὶ μελέτη εἰσίν, ῥηθείη καὶ οὐδὲν ἄλλο, ὡς ἄνευ γε τούτων οὐδὲν συντελέσει τὸ τὴν ψυχὴν πρὸς τὰ δεινὰ ἐρρωμενεστέραν γίνεσθαι φύσει. καὶ δηλοῦσιν, ὅσα τῶν γενῶν τὰ μὲν τῇ γυμνασίᾳ, τὰ δὲ τῇ ῥᾳστώνῃ εἰς αὐτὰ τἀναντία τοῖς προτέροις ἀπήχθησαν, ἢ ὅσα ἀνδρικώτατα ἐν ἑνί τινι τῶν πολέμων εἴδει ὄντα ἐν τοῖς λοιποῖς διὰ τὸ μὴ ἐθίσαι οὐδὲν ὅλως ἰσχύουσιν. Λακεδαιμόνιοι μὲν γὰρ ἀσπίσι καὶ δόρασιν ἰσχύοντες ἐν πέλταις καὶ ἀκοντίοις οὐδενὸς ἄξιοι ἦσαν. Θρᾷκες δὲ πέλταις καὶ ἀκοντίοις κρατοῦντες τὸ μηδὲν ἦσαν, ἐν οἷς Λακεδαιμόνιοι ἐθαυμάζοντο. Σκύθαι δὲ τόξοις ὑπὲρ πάντας ἀνθρώπους εὐδοκιμοῦντες, ἐν οἷς Θρᾷκες ἢ Λακεδαιμόνιοι τὸ κράτος εἶχον, τούτων οὐδὲν διαχειρίζεσθαι ᾔδεσαν. καὶ αὖ, ἵνα τἄλλα πλεῖστα ὄντα παρῶ παραδείγματα, Θηβαῖοι μέν, Ἀγησιλάου συχνῶς ἐμβάλλοντος εἰς τὴν αὐτῶν καὶ κακοῦντος αὐτούς, καίτοι μὴ σφόδρα πολεμικοὶ πρότερον ὄντες, οὕτως ὑπὸ τῆς ἀνάγκης ἐγυμνάσθησάν τε καὶ τὰ πολεμικὰ ἤσκησαν, ὥστε παραμικρὸν ἐλθεῖν καὶ αὐτὴν τὴν πανταχοῦ γῆς θαυμαζομένην Σπάρτην ἑλεῖν. Λυδοὶ δέ, πολεμικώτατοι ὄντες, ὑπὸ Κύρου ἀφῃρημένοι τὰ ὅπλα, ἑορταῖς τε καὶ πανηγύρεσιν ἐθισθέντες σχολάζειν, οὕτως ἐμαλακίσθησάν τε καὶ ἐσχαυνώθησαν, ὡς γυναικῶν μηδὲν διαφέρειν. τοσοῦτον ἡ γυμνασία καὶ ἡ ἄσκησις δύναται ἢ τἀναντία.

**7.** Διὰ παῦτα καὶ αὐτὸς τοὺς σαυτοῦ γυμνάσεις, ἀσκήσεις, διδάξεις τὰ τακτικά, τὰ πολεμικά, τὰ στρατιωτικά, καὶ οὕτως αὐτοὺς εἰς ἅπαντα ἔχων χρησί-

---

3 ῥωμαλέα] ῥωμαλαῖα M | 6 μετοικήσοντας *scripsi cum L* μετοικίσοντας M | 24 ῥᾳστώνῃ] ῥαστώνη *L* | 39 ἀσκήσεις M] *L om.*

Ε.Υ.Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006